# Das griechische Neue Testament –

## gemäß der Mehrheit der ältesten erhaltenen Zeugen der byzantinischen Textform

Die Verzeichnung der Zeugen im Apparat basiert bei א (01) A (02)  B (02) C (04) K (018) L (020) P (025) auf Tischendorfs achter Auflage, bei P72 Ψ (044) 049 056 0142 33 1424 1841 1862 1895 auf eigener Kollation. Maßgeblich für die Konstituierung des vorliegenden Textes ist die Mehrheit der zur byzantinischen Textform gehören zehn Zeugen K L P 049 056 0142 1424 1841 1862 1895.

## *ΙΟΥΔΑ ΕΠΙΣΤΟΛΗ*

**1~1 Ἰούδας Χριστοῦ Ἰησοῦ[1] δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου, τοῖς ἐν
Θεῷ πατρὶ ἡγιασμένοις[2] καὶ Ἰησοῦ Χριστῷ τετηρημένοις κλητοῖς·
1~2 ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη· 1~3 ἀγαπητοί,
πᾶσαν σπουδὴν ποιούμενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς
σωτηρίας[3], ἀνάγκην ἔσχον γράψαι ὑμῖν παρακαλῶν
ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει· 1~4**

[1] 1,1 Χριστου Ιησου: K P 049 1424 1862 1895 // Ιησου Χριστου: P72 01 A B L Ψ 056 0142 33 1841 [RP TR NA] // lac. C

[2] 1,1 ηγιασμενοις: K L P 049 056 0142 1424 1841 1862 1895 [RP TR] // ηγαπημενοις: P72 01 A B Ψ [NA] // illeg. 33 // lac. C

[3] 1,3 σωτηριας: K L P 049 056 0142 1424 1841 1862 1895 [RP TR] // ημων σωτηριας: P72 01 A B C [NA] // ημων σωτηριας και ζωης: Ψ // illeg. 33

**παρεισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρίμα, ἀσεβεῖς, τὴν τοῦ Θεοῦ ἡμῶν χάριν[4] μετατιθέντες εἰς ἀσέλγειαν καὶ τὸν μόνον δεσπότην Θεὸν[5] καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι· 1~5 ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ὑμᾶς[6] ἅπαξ τοῦτο, ὅτι ὁ Κύριος[7] λαὸν ἐκ γῆς Αἰγύπτου σώσας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν, 1~6 ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχήν, ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν· 1~7 ὡς Σόδομα καὶ Γόμορρα καὶ αἱ περὶ αὐτὰς πόλεις τὸν ὅμοιον τούτοις τρόπον[8] ἐκπορνεύσασαι καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας, πρόκεινται δεῖγμα πυρὸς αἰωνίου δίκην ὑπέχουσαι· 1~8 ὁμοίως**

---

[4] 1,4 χαριν: 01 C K L P Ψ 049 056 0142 1424 1841 1862 1895 33 [RP TR] // χαριτα: P72 A B (P72 χαρειτα) [NA]

[5] 1,4 Θεον: K L P 049 056 0142 Ψ 1424 1841 1895 [RP TR] // και Θεον: 1862 // OM.: P72 01 A B C 33 [NA]

[6] 1,5 υμας: 01 B K L 049 056 1862 1895 1424 1841 [RP TR NA+] // OM.: P72 A $C^c$ Ψ 33 [NA-] // illeg. C* // υμας απαξ τουτο οτι ο Κυριος ] τουτο υμας απαξ οτι ο Κυριος: 0142 // lac. P

[7] 1,5 απαξ τουτο οτι ο Κυριος: L 049 1424 1841 1862 [RP TR] // τουτο απαξ οτι ο Κυριος: K 056 1895 // απαξ παντα οτι ο Ιησους: $33^{*vid}$ // απαξ παντα οτι Ιησους: A B $33^c$ // απαξ παντα οτι ο Θεος: $C^c$ // παντα οτι Κυριος απαξ: 01 Ψ [NA-] // παντα οτι ο Κυριος απαξ [NA+] // απαξ παντας οτι Θεος Χριστος P72* // απαξ παντα οτι Θεος Χριστος $P72^c$ // υμας απαξ τουτο οτι ο Κυριος ] τουτο υμας απαξ οτι ο Κυριος: 0142 // illeg. C* // lac. P

[8] 1,7 τουτοις τροπον: K L 049 056 1424 1841 1862 [RP TR] // τροπον τουτοις: P72 01 A B C 33 [NA] // αυτοις τροπον: 0142 1895 // τροπον αυτοις: Ψ // lac. P

**μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι σάρκα μὲν μιαίνουσιν, κυριότητα δὲ ἀθετοῦσιν, δόξας δὲ βλασφημοῦσιν· 1~9 ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ Μωσέως[9] σώματος, οὐκ ἐτόλμησεν κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ'[10] εἶπεν· ἐπιτιμήσαι σοι Κύριος· 1~10 οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασιν βλασφημοῦσιν, ὅσα δὲ φυσικῶς ὡς τὰ ἄλογα ζῷα ἐπίστανται, ἐν τούτοις φθείρονται· 1~11 οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο· 1~12 οὗτοί εἰσιν [+][11] ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες συνευωχούμενοι ἀφόβως, ἑαυτοὺς ποιμαίνοντες, νεφέλαι ἄνυδροι ὑπὸ ἀνέμων παραφερόμεναι[12], δένδρα φθινοπωρινὰ ἄκαρπα, δὶς ἀποθανόντα, ἐκριζωθέντα, 1~13 κύματα ἄγρια θαλάσσης ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας, ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς τὸν[13] αἰῶνα τετήρηται· 1~14 προεφήτευσεν δὲ καὶ τούτοις ἕβδομος**

---

[9] 1,9 Μωσεως: A K Ψ 049 056 1424 1862 [RP1991 TR] // Μωυσεως: 01 B C L 0142 33 1841 [RP2005 NA] // Μουσεως P72 // lac. P 1895

[10] 1,9 *αλλ*: 01 C K L 049 056 0142 33 1424 1841 1862 [RP TR] // *αλλα*: P72 A B Ψ [NA] // lac. P 1895

[11] 1,12 SINE ADD.: (01*) K 049 056 0142 1424 1841 1862 [RP TR] // ADD. οι: P72 01$^{c}$ A B L Ψ 33 [NA] // illeg. C // lac. P 1895

[12] 1,12 παραφερομεναι: P72$^{c}$ 01 A C K L 049 33 1424 1841 1862 [RP NA] // παραφερομενοι: P72* B Ψ // φερομεναι: 056 0142 // περιφερομεναι: [TR] // lac. P 1895

[13] 1,13 τον: K 049 056 0142 1841 1862 [TR] // OM.: P72 01 A B C L Ψ 33 1424 [RP NA] // lac. P 1895

**ἀπὸ Ἀδὰμ Ἐνὼχ λέγων· ἰδοὺ ἦλθεν Κύριος ἐν ἁγίαις μυριάσιν αὐτοῦ[14], 1~15 ποιῆσαι κρίσιν κατὰ πάντων καὶ ἐλέγξαι[15] πάντας τοὺς ἀσεβεῖς αὐτῶν[16] περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν ὧν ἠσέβησαν καὶ περὶ πάντων τῶν σκληρῶν ὧν ἐλάλησαν κατ' αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς· 1~16 οὗτοί εἰσιν γογγυσταί, εμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν[17] πορευόμενοι, καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα ὠφελείας χάριν· 1~17 ὑμεῖς δέ, ἀγαπητοί, μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, 1~18 ὅτι ἔλεγον ὑμῖν· ὅτι[18] ἐν ἐσχάτῳ[19] χρόνῳ[20] ἔσονται ἐμπαῖκται κατὰ τὰς**

---

[14] 1,14 αγιαις μυριασιν αυτου: A B K L 049 056 0142 33 1424 1841 1862 [RP NA] // μυριασιν αγιαις αυτου: C [TR] // μυριασιν αγιων αγγελων: 01 // αγιαις μυριασιν αγγελων: Ψ // αγιων αγγελων μυριασιν: P72 // lac. P 1895

[15] 1,15 ελεγξαι: P72 01 A B C K L Ψ 049 33 1424 1841 1862 (ελεγξε P72) [RP NA] // εξελεγξαι: [TR] // OM. κατα παντων και ελεγξαι παντας τους ασεβεις αυτων: 056 0142 // lac. P 1895

[16] 1,15 παντας τους ασεβεις αυτων: K L 049 1424 1841 1862 [RP TR] // παντας τους ασεβεις: A B C Ψ 33 // πασαν ψυχην: P72 01 [NA] // OM. κατα παντων και ελεγξαι παντας τους ασεβεις αυτων: 056 0142 // lac. P 1895

[17] 1,16 αυτων: 01 A B K Ψ 056 0142 33 1424 1862 [RP TR] // εαυτων: C L P 049 1841 [NA] // εαυτω P72^c // OM. κατα τας επιθυμιας αυτων πορευομενοι: P72* // lac. 1895

[18] 1,18 οτι: P72 A C K L^mg 049 056 0142 33 1424 1841 1862 [RP TR NA+] // OM.: 01 B L^txt Ψ [NA-] // lac. 1895

[19] 1,18 εν εσχατω: K L P 049 056 0142 1424 1841 1862 [RP TR] // επ εσχατου: P72 01 A B C Ψ 33 [NA] // lac. 1895

[20] 1,18 χρονω: K L 049 1424 1841 1862 [RP TR] // τω χρονω: P // χρονου: P72 B C Ψ [NA-] // του χρονου: 01 A 33 [NA+] // χρονων: 056 0142 // lac. 1895

**ἑαυτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν· 1~19 οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες [+][21], ψυχικοί, Πνεῦμα μὴ ἔχοντες· 1~20 ὑμεῖς δέ, ἀγαπητοί, τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες ἑαυτούς[22], ἐν Πνεύματι Ἁγίῳ προσευχόμενοι 1~21 ἑαυτοὺς ἐν ἀγάπῃ Θεοῦ τηρήσατε, προσδεχόμενοι τὸ ἔλεος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ζωὴν αἰώνιον· 1~22 καὶ οὓς μὲν ἐλεεῖτε[23] διακρινόμενοι, 1~23 οὓς δὲ ἐν φόβῳ σῴζετε ἐκ πυρὸς ἁρπάζοντες[24], μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα· 1~24 τῷ δὲ δυναμένῳ φυλάξαι αὐτοὺς[25] ἀπταίστους καὶ στῆσαι κατενώπιον τῆς δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει, 1~25 μόνῳ**

---

[21] 1,19 SINE ADD.: P72 01 A B K L P 049 056 0142 33 1424 1841 1862 [RP TR[s] NA] // ADD. εαυτους: C [TR[e]] // lac. 1895

[22] 1,20 τη αγιωτατη υμων πιστει εποικοδομουντες εαυτους: K L P 049 056 0142 1424 1841 1862 [RP TR] // εποικοδομουντες εαυτους τη αγιωτατη υμων πιστει: 01 A B C Ψ 33, (A αγιοτατη) [NA] // τη εαυτων αγιοτητι πειστι ανυκοδομεισθαι: P72 // lac. 1895

[23] 1,22 ελεειτε: K L P 049 056 0142 1424 1841 1862 [RP TR] // ελεατε: 01 B C[c] Ψ [NA] // ελεγχετε: A C* 33, (33 ελεγχεται) // OM. P72 // lac. 1895

[24] 1,22-23 διακρινομενοι ους δε εν φοβω σωζετε εκ πυρος αρπαζοντες: K L P 049 056 0142 1424 1841 1862, (049 0142 σωζεται) [RP] // διακρινομενοι ους δε εν φοβω σωζετε εκ του πυρος αρπαζοντες: [TR] // διακρινομενους ους δε σωζετε εκ πυρος αρπαζοντες ους δε ελεατε εν φοβω: 01 B A Ψ 33 (A ελεειτε) [NA] // διακρινομενους σωζετε εκ πυρος αρπαζοντες εν φοβω: C // εκ πυρος αρπασατε διακρινομενους δε ελεειτε εν φοβω: P72 // lac. 1895

[25] 1,24 αυτους: K P 049 1424 1841 1862 [RP TR[s]] // υμας: 01 B C L Ψ 056 0142 33 [TR[e] NA] // ημας: A // φυλαξαι αυτους απταιστους και στησαι κατενωπιον ] στηριξαι ασπειλουσα μωνους αγνευομενους απεναντι: P72 // lac. 1895

**σοφῷ[26] Θεῷ σωτῆρι ἡμῶν [+][27], δόξα καὶ[28] μεγαλωσύνη, κράτος καὶ ἐξουσία +[29] καὶ νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας, ἀμήν·**

[26] 1,25 σοφω: K L P 049 056 0142 1424 1841 1862 [RP TR] // OM.: P72 01 A B C Ψ 33 [NA] // lac. 1895

[27] 1,25 SINE ADD.: K P 049 056 0142 1424 1841 1862 [RP TR] // ADD. δια Ιησου Χριστου του Κυριου ημων: 01 A B C L Ψ 33 [NA] // δοξα και μεγαλωσυνη κρατος και εξουσια ] αυτω δοξα κρατος τιμη δια Ιησου Χριστου του Κυριω (!) ημων αυτω δοξα και μεγαλοσυνη: P72 // lac. 1895

[28] 1,25 και: K L P 049 056 0142 1424 1841 1862 [RP TR] // OM.: 01 A B C Ψ 33 [NA] // δοξα και μεγαλωσυνη κρατος και εξουσια ] αυτω δοξα κρατος τιμη δια Ιησου Χριστου του Κυριω (!) ημων αυτω δοξα και μεγαλοσυνη: P72 // lac. 1895

[29] 1,25 SINE ADD.: K P 049 056 0142 1424 1841 1862 [RP TR] // ADD. προ παντος του αιωνος: 01 A B C L Ψ 33 [NA] // δοξα και μεγαλωσυνη κρατος και εξουσια ] αυτω δοξα κρατος τιμη δια Ιησου Χριστου του Κυριω (!) ημων αυτω δοξα και μεγαλοσυνη (OM. προ παντος του αιωνος): P72 // lac. 1895